τὴν τοῦ εἰκοσαέδρου ἐπιφάνειαν. οὕτως τὸ ὑπὸ τῆς πλευ-
ρᾶς τοῦ πενταγώνου καὶ τῆς ὑπὸ τῆς ἐκ τοῦ κέντρου
τοῦ περὶ τὸ πενταγώνου κύκλου ἐπ' αὐτὴν καθέτου ἀγο-
μένης πρὸς τὸ ὑπὸ τῆς πλευρᾶς τοῦ εἰκοσαέδρου καὶ
τῆς ὑπὸ τοῦ κέντρου τοῦ περὶ τὸ τρίγωνον κύκλου ἐ-
πὶ αὐτὴν καθέτου ἀγομένης τῶν εἰς τὴν αὐτὴν σφαι-
ραν ἐγγραφομένων εἰκοσαέδρου καὶ δωδεκαέδρου :-



Τούτου δήλου ὄντος. δεικτέον ὅτι ἔσται ὡς ἡ τοῦ δωδεκα-
έδρου ἐπιφάνειαν πρὸς τὴν τοῦ εἰκοσαέδρου. οὕτως
ἡ τοῦ κύκλου πλευρὰν πρὸς τὴν τοῦ εἰκοσαέδρου πλευ-
ρᾶν· ἐκκείσθω κύκλος περὶ λαμκάνων τότε τοῦ δω-
δεκαέδρου πενταγώνου καὶ τὸ τοῦ εἰκοσαέδρου τρίγω-
νον τῶν εἰς τὴν αὐτὴν σφαιραν ἐγγραφομένων ὁ ΑΒΓ.
καὶ ἐγγεγράφθω εἰς τὸν ΑΒΓ κύκλον τριγώνου μὲν ἴσο-
πλευρου πλευρὰν ἡ ΓΑ. πενταγώνου δὲ ἡ ΑΓ. καὶ εἰλή-
φθω τὸ κέντρον τοῦ κύκλου τὸ Ε. καὶ ἀπὸ τοῦ Ε ἐπὶ

τὰς ΑΓ ΓΑ καθέτοι ἤχθωσαν αἱ ΕΖ ΗΕ. καὶ ἐκκεκλήσθω ἐ-
πεύθειας τῆς ΕΗ εὐθεῖαν ἡ ΗΒ καὶ ἐπεζεύχθω ἡ ΒΓ. καὶ ἐκ-
κείσθω κύκλου πλευρὰν ἡ ΘΕ. λέγω ὅτι ἔστιν ὡς ἡ τοῦ δω-
δεκαέδρου ἐπιφάνειαν πρὸς τὴν τοῦ εἰκοσαέδρου. οὕ-
τως ἡ ΘΕ πρὸς τὴν ΓΑ. ἐπεὶ γὰρ συναμφοτέρου τῆς
ΕΒΓ ἄκρον καὶ μέσον λόγον τετμημένης τομεῖζον τμῆ-
μα ἐστὶν ἡ ΒΕ. καὶ ἔστι συναμφοτέρου μὲν τῆς ΕΒΓ ἡμί-
σεια ἡ ΕΗ. τῆς δὲ ΒΕ ἡμίσεια ἡ ΕΖ. καὶ τῆς ΕΗ ἄρα ἄ-
κρον καὶ μέσον λόγον τεμνομένης. τομεῖζον τμῆμα
ἐστὶν ἡ ΕΖ. ἔστι δὲ καὶ τῆς ΘΕ ἄκρον καὶ μέσον λόγον τε-
τμημένης τομεῖζον τμῆμα ἡ ΓΑ ὡσεντῶι δωδεκα-
έδρωι ἐδείχθη. ὡς ἄρα ἡ ΘΕ πρὸς τὴν ΓΑ. οὕτως ἡ
ΕΗ πρὸς τὴν ΕΖ. ἴσον
ἄρα τὸ ὑπὸ ΘΖΕ τῶι
ὑπὸ ΓΑΕΗ. καὶ ἐπεὶ ἔστιν
ὡς ἡ ΘΕ πρὸς τὴν ΓΑ. οὕ-
τως τὸ ὑπὸ ΘΕΖ πρὸς
τὸ ὑπὸ ΓΑΖΕ. τῶι δὲ
ὑπὸ ΘΕΖ ἴσον ἐστὶ τὸ ὑ-
πὸ ΓΑΗΕ. ὡς ἄρα ἡ ΘΕ
πρὸς τὴν ΓΑ. οὕτως τὸ
ὑπὸ ΓΑΗΕ πρὸς τὸ ὑ-
πὸ ΓΑΖΕ. τοῦτ' ἔστιν ὡς
ἡ τοῦ δωδεκαέδρου ἐπιφάνειαν πρὸς τὴν τοῦ εἰκοσα-
έδρου ἐπιφάνειαν. οὕτως ἡ ΘΕ πρὸς τὴν ΓΑ :-



Ἄλλως δεῖξαι ὅτι ἔστιν ὡς ἡ τοῦ δωδεκαέδρου ἐπιφά-